BOURDINUS. Φίλαι.] ὁ Εὐριπίδης τοῦ Περσέως σχῆμα περιλαβὼν, ἐπικαλεῖται τὰς θεὰς, ὥστε δυνάσθαι σώζειν καὶ ἐκλύεσθαι τοῦ κινδύνου τὸν Μνησίλοχον πεσόντα ἐς μεγάλην κινδύνων περιπλοκήν.

BISETUS. Φίλαι παρθένοι] Εὐριπίδης ὡς Περσεὺς ταῦτα προφέρει, καὶ ζητεῖ πῶς ἂν τὸν Μνησίλοχον σώζειν δυνηθείη. ὁ δὲ Μνησίλοχος παραπλησίως τὰς ἑαυτοῦ συμφορὰς βαρέως φέρει, καὶ σχετλιάζει, ἄλλοτε, καὶ ἄλλοτε τὸ πρόσωπον μεταβαλλόμενος, τοτὲ μὲν, ὡς Ἀνδρομέδη, τοτὲ δὲ, ὡς αὐτὸς ὁ Μνησίλοχος, ἑκά-

A στοτε δὲ τοὺς λόγους συγκόπτει κατὰ τὴν τῶν κεκινημένων, καὶ τεταραγμένων ἀνθρώπων μίμησιν. ταῦτα δὲ ἀκριβῶς παρατηρητέον. καὶ γὰρ ἄλλως μεγάλην ἀσάφειαν, καὶ σύγχυσιν ἐν τούτοις ἂν εὕροις, διὰ τὴν γραφὴν ἐν πολλοῖς διεφθαρμένην. πρῶτον οὖν ὡς Περσεὺς τὰς Νύμφας προσφωνῶν λέγει, φίλαι παρθένοι. καὶ τὰ ἑξῆς. εἰσὶ δὲ στίχοι μικτοὶ μα΄. ὧν τελευταῖος, Νέκυσιν ἐπὶ πορεί-

B αν. Τὸν Σκύθην] τὸν τοξότην. οἱ γὰρ τοιοῦτοι τοξόται, καὶ δημόσιοι ὑπηρέται, καὶ φύλακες, ὡς ἐπιτοπλεῖστον τὸ γένος Σκύθαι ἦσαν.

| | |
|---|---|
| Κλύεις ὦ | *Audias utinam Diana, quæ inspicis Nymphas tuas in antris,* |
| Περσιδοῦσα τὰς ἐν ἄντροις | *Annue, sine ad* |
| Κατάνευσον, ἔασόν ὡς | *Uxorem me ire.* |
| Τὴν γυναῖκά μ' ἐλθεῖν. | *MN. Inclemens, qui me vinxit* |
| Μν. Ἀνοικτος ὅς μ' ἔδησε τὸν | C *Multo laboriosissimam mortalium.* |
| Πολυπονώτατον βροτῶν, | *Vix autem anum cum effugerim* |
| Μόλις δὲ γραῖαν ἀποφυγὼν | *Putidam, perij tamen.* |
| Σαπρὰν ἀπωλόμην ὅμως. | *Hic enim Scytha custos* |
| Ὁ δὲ γὰρ ὁ Σκύθης φύλαξ | *Iamdiu assistit, perditam,* |
| Πάλαι ἐφέστηκ' ὀλοὸν | *Ab amicis destitutam, suspendit coruis* |
| Ἄφιλον. ἐκρέμασε κόραξι | *Cœnam, vides? non choreis,* |
| Δεῖπνον, ὁρᾷς. οὐ χοροῖσιν | *Neque cum æqualibus adolescentulis* |
| Οὐδ' ὑφ' ἡλίκων νεανίδων. | *Suffragiorum cistam sto habens.* |
| Ψήφων κημὸν ἕστηκ' ἔχου- | D *Sed in densis vinculis implicata,* |
| Σ', ἀλλ' ἐν πυκνοῖς δεσμοῖσιν ἐμπεπληγμένη | *Ceto cibus cæruleo exposita sum.* |
| Κήτει βορὰ τῷ γλαυκέτῃ πρόσκειμαι. | *Nuptiali quidem non cum* |
| Γαμηλίῳ μὲν οὐ ξυμ- | *Carmine, sed vinculari, & nexili versu.* |
| Παιῶνι. δεσμίῳ δὲ | *Deplorate me ô mulieres, quoniam* |
| Γοᾶσθέ μ' ὦ γυναῖκες ὡς | *Misera quidem passa sum, misera,* |
| Μελέα μὲν πέπονθα. μέλεος | *O misera ego misera.* |
| Ὦ τάλας ἐγὼ τάλας. | *Ab autem cognatis, sed* |
| Ἀπὸ δὲ συγγόνων ἄλλ' αὖ | *Impias calamitates, virum precantem* |
| Ἀνόμα πάθεα φῶτα λιτομέναν. | *Lachrymosum Plutonis gemitum fugientem.* |
| Πολυδάκρυτον ἀΐδα γόον φλέγουσαν | E *Heu heu heu heu* |
| Αἶ αἶ αἶ αἶ | *Qui me totondit primum,* |
| Ὃς ἔμ' ἀπεξύρησε πρῶτον, | *Qui me croceis vestimentis induit.* |
| Ὃς ἐμὲ κροκόεντ' ἐνέδυσεν, | *Ad hæc verò hoc emisit* |
| Ἐπὶ δὲ τοῖσδε τόδ' ἀνέπεμψεν | *Ad templum, ubi mulieres.* |
| Ἱερὸν ἔνθα γυναῖκές. | |

BISETUS. Κλύεις ὦ] γραπτέον ἴσως, κλύοις ὦ. ἀντὶ τοῦ εἴθε κλύοις, ἤγουν ἀκούοις ὧν ἐπιθυμῶ. καὶ κατάνευσόν μοι. τὸ δὲ προσιδοῦσα, διεφθαρμένον ἐστίν. ἀνθ' οὗ τινες προσιδοῦσα γράφουσι, καὶ πρὸς τὴν Ἄρτεμιν ἀναφέροντες οὕτως ἑρμηνεύουσιν. ἢ τὰς Νύμφας ἐν ἄντροις οἰκούσας προσορᾷς. Ἄλλοι πρὸς τὴν Ἠχὼ ἀναφέρουσιν, ἣ καὶ αὐτὴ ἐν ἄντροις οἰκεῖ, καὶ τὰς φωνὰς ἐν αὐτοῖς ποιουμένας ἀναπέμπει, ὥστε τοῖς προσιοῦσιν ἐξακούστους εἶναι. καὶ τοῦτο πιθανώτερον. εἰσὶ καὶ τινὲς, οἳ προσιδοῦσα οὐκ ἀπιθάνως γραπτέον νομίζουσιν, οὕτως ἑρμηνεύοντες, ἥπερ, Ἠχὼ δηλαδὴ τὰς ἐν ἄντροις οἰκούσας Νύμφας ἐκφαίνεις, καὶ δηλοῖς τὰς αὐτῶν φωνὰς μιμουμένη, καὶ τοῖς προσιοῦσιν ἀπονέμουσα. Ἠχὼ γὰρ, ὡς καὶ παρὰ τῷ Σουΐδα γέγραπται γίνεται κατ' ἀνάκλασιν τὴν ἀπὸ τῶν τύπων, καὶ λείων σωμάτων, μάλιστα δὲ κοίλων, πληγέντος ὑπὸ τῆς φωνῆς ἀέρος. ὁ γὰρ διαλεγόμενος ὠθεῖ μὲν σχεδὸν πάντα τὸν πέριξ ἀέρα. μάλιστα δὲ τὸν ἔμπροσθεν. διὸ μᾶλλον ἀκούομεν πρὸς ἡμᾶς ὁρῶντος τοῦ διαλεγομένου, ἢ ἀπεστραμμένου. οὗτος δὴ ὁ ἔμπροσθεν ἀὴρ ὠθούμενος ὅταν ἐνεχθῇ ἐπί τι ἀντίτυπον ἔχον κοιλότητα, οἷα

ἐστὶ τὰ ἄντρα, συνεχὴς ὢν, καὶ ἀδιασκέδαστος, διὰ τὸ περιέχεσθαι ὑπὸ τοῦ κοιλώματος, προσπεσὼν αὐτῷ ἀντιτύπῳ ὄντι σώματι εἰς τὸ ἔμπαλιν, ὥσπερ ἡ ῥιπτομένη κατὰ

F τοῖχον σφαῖρα καὶ οὕτως ἐπαναστρέφει ἐπὶ τὸν πλήξαντα, ἐνεργοῦντος δηλονότι τοῦ ἀέρος δι' ἀμφότερα κατὰ τὴν διεχῆ αὐτοῦ δύναμιν.

BOURDINUS. Προσιδοῦσα] ἄρτεμιν. Κατάνευσον] πρόσνευσον. Ἀνοικτὸς] σκληρὸς, ἀνελεήμων, ἀνήλεος, ἀταλαίπωρος τὸ τῆς ἀνδρομέδης σχῆμα μιμούμενος. Πολυπονώτατον.] ταλαιπωρότατον, πολλῶν πόνων μεστόν. Σαπράν.] σηπομένην ὑπὸ γήρως καὶ ἀπορρέουσαν. καθ' ὑπερβολὴν ὑπεργηράσκουσαν. Ὀλοόν.] ὀλέθριον, κακὸν, χαλεπόν. Ἄφιλον.] ἔρημον ὑπὸ φίλων.

G Ἐκρέμασε.] ἀνακρέμασε ψῆφον. Κημόν.] κημὸς ἐλέγετο παρὰ Ἀθηναίοις τὸ πῶμα πεπλεγμένον καὶ παρόμοιον τῇ χώνῃ, ἥπερ ἐπετίθετο τῇ τῶν δικαστηρίων ὑδρίᾳ, ὅτε δὴ ἔμελλον δικάζεσθαι, καὶ ψῆφον φέρειν. ἐνταῦθα δὲ ὁ Μνησίλοχος, ἔτι προσποιούμενος εἶναι γυνὴ, οἰμώζει φάσκων, ὅτι οὐκ ἔχει τῶν ψήφων κημὸν, ὥσπερ αἱ ἥλικες νεανίδες, ἀλλ' ἐν δεσμοῖς ἐστὶν, ἀντὶ ταύτης τῆς ἐλευθερίας.